**ἀντισπαστικὸν διπλοῦν φερεκράτειον**

– – – ⏑ – ⏑ – ⏑ – – – ⏑ – – ||

**1.** Tzetz. *de metr. Pind.* 113. 12 sqq.

τὸ τρίτον φερεκράτειον, διπλοῦν ἀντὶ ἁπλοῦ δέ.
τὸ πρῶτον μὲν ὁλόκληρον, δεύτερον ἀτελὲς δέ.
μέτρον τὸ φερεκρατέους γὰρ ἀντίσπαστοι πληροῦσι.
δίμετρον ἔστι τοῦτο δέ, πλὴν ἀλλ᾽ ἐν καταλήξει·
εἰ βούλει ἑφθημιμερές, ἀλλ᾽ ἀντισπαστικόν γε,
ἀριθμουμένων τῶν ποδῶν κατὰ δισυλλαβίαν ...
ἀλλ᾽ ὅρα τὴν καταγραφὴν τοῦ νοῦ ἐξηγημένου.
φερεκράτειον πρῶτον      φερεκράτειον δεύτερον, λειπούσης συλλαβῆς
– – – ⏑ – ⏑ –      ⏑ – – ⏑ – –.

– – – ⏑ – ⏑ – ⏑ – ⏑ ⏑ – – ||

**2.** Schol. rec. in Pind. *Ol.* 14 (p. 420. 3 sqq. Abel) τὸ γʹ ἀντισπαστικὸν διπλοῦν φερεκράτειον· σύγκειται γὰρ ἐκ βʹ κώλων φερεκρατείων, ὧν τὸ βʹ ἀτελές. τὸ μὲν γάρ ἐστι δίμετρον καταληκτικὸν ἤτοι ἑφθημιμερές, τὸ δὲ δίμετρον βραχυκατάληκτον ἀντὶ ἀντισπάστου παίωνα βʹ ἔχον. [*P.S.*]